ʽνίκη μὲν δὴ φαίνετ᾽ ἀρηιφίλου Μενελάου.᾽

γελοῖον γάρ, εἰ τὸν μὲν Ποδῆν ἐνίκησεν (P 575) πόρ-
D ρωθεν ἀκοντίσας μὴ προσδοκήσαντα μηδὲ φυλαξάμενον, τοῦ δ᾽ ἀπειπαμένου καὶ δραπετεύσαντος καὶ καταδύντος εἰς τοὺς κόλπους τῆς γυναικὸς ἐσκυλευμένου ζῶντος οὐκ ἄξιος ἦν τὰ νικητήρια φέρεσθαι, κατὰ τὴν αὐτοῦ πρόκλησιν ἐκείνου κρείττων φανεὶς καὶ περιγενόμενος.᾽

**3.** ʽΥπολαβὼν δ᾽ ὁ Γλαυκίας ἔφη πρῶτον μὲν ἔν τε δόγμασι καὶ νόμοις ἔν τε συνθήκαις καὶ ὁμολογίαις κυριώτερα τὰ δεύτερα νομίζεσθαι καὶ βεβαιότερα τῶν πρώτων· ʽδεύτεραι δ᾽ ἦσαν αἱ δι᾽ Ἀγαμέμνονος ὁμολογίαι τέλος ἔχουσαι θάνατον οὐχὶ ἧτταν τοῦ κρατηθέντος. ἔπειτ᾽ ἐκεῖναι μὲν λόγοις, αὗται δὲ καὶ μεθ᾽ ὅρκων εἵποντο καὶ
E προσῆσαν ἀραὶ τοῖς παραβαίνουσιν, οὐχ ἑνὸς ἀνδρὸς ἀλλὰ πάντων ἀποδεχομένων καὶ συνομολογούντων· ὥστε ταύτας γεγονέναι κυρίως ὁμολογίας, ἐκείνας δὲ μόνας προκλήσεις. μαρτυρεῖ δ᾽ ὁ Πρίαμος μετὰ τὰ ὅρκια τοῦ ἀγῶνος ἀπιὼν [καί] (Γ 308)

ʽΖεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν·᾽

ᾔδει γὰρ ἐπὶ τούτοις τὰς ὁμολογίας γεγενημένας· διὸ καὶ μετὰ μικρὸν ὁ Ἕκτωρ φησίν (Η 69)

ʽὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν.᾽

ἀτελὴς γὰρ ἔμεινεν ὁ ἀγὼν καὶ πέρας ἀναμφισβήτητον
F οὐκ εἶχεν μηδετέρου πεσόντος. ὅθεν ἔμοιγε δοκεῖ μηδ᾽ ἀντινομικὸν γεγονέναι τὸ ζήτημα, ταῖς δευτέραις ὁμολο-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/326 UNIVERSITÄT LEIPZIG